εὔλυτα δ' εἶναι θέλγητρα φρενῶν,
ἀπό τ' ὤσασθαι καὶ ξυντεῖναι',

καθάπερ πόδα νεὼς ἐπιδιδόντα καὶ προσάγοντα ταῖς χρείαις F
τὴν φιλίαν. ἀλλὰ τοῦτο μέν, ὦ Εὐριπίδη, μεταθῶμεν ἐπὶ τὰς
ἔχθρας, καὶ κελεύωμεν μετρίας ποιεῖσθαι τὰς διαφορὰς καὶ
μὴ πρὸς ἄκρον μυελὸν ψυχῆς, εὔλυτα δ' εἶναι μίση καὶ ὀργὰς
καὶ μεμψιμοιρίας καὶ ὑπονοίας· ἐκεῖνο δὲ μᾶλλον ἡμῖν | παραί- 96
νει τὸ Πυθαγορικὸν 'μὴ πολλοῖς ἐμβάλλειν δεξιάν', τουτέστι
μὴ πολλοὺς ποιεῖσθαι φίλους μηδὲ πολύκοινον μηδὲ πάνδη-
μον ἀσπάζεσθαι φιλίαν καὶ προσεντείνειν μετὰ πολλῶν παθῶν
εἰσιοῦσαν, ὧν τὸ μὲν συναγωνιᾶν καὶ συνάχθεσθαι καὶ συμ-
πονεῖν καὶ συγκινδυνεύειν οὐ πάνυ δύσοιστον τοῖς ἐλευθέροις
καὶ γενναίοις ἐστί, τὸ δὲ τοῦ σοφιστοῦ Χίλωνος ἀληθὲς πρὸς
τὸν εἰπόντα μηδένα ἔχειν ἐχθρόν 'ἔοικας' ἔφη 'σὺ μηδὲ φίλον
ἔχειν'· αἱ γὰρ ἔχθραι ταῖς φιλίαις εὐθὺς ἐπακολουθοῦσι καὶ
συμπλέκονται. (7.) οὐκ ἔστι φίλῳ μὴ συναδικεῖσθαι μηδὲ
συναδοξεῖν καὶ συναπεχθάνεσθαι· οἱ γὰρ ἐχθροὶ τῶν φίλων
εὐθὺς ὑφορῶνταί τε καὶ μισοῦσιν, οἱ δὲ φίλοι πολλάκις φθο- B
νοῦσί τε καὶ ζηλοτυποῦσι καὶ περισπῶσιν. ὥσπερ οὖν ὁ τῷ
Τιμησίᾳ περὶ τῆς ἀποικίας δοθεὶς χρησμὸς προηγόρευσε

'σμῆνα μελισσάων τάχα τοι καὶ σφῆκες ἔσονται',

οὕτως οἱ φίλων ζητοῦντες ἑσμὸν ἔλαθον ἐχθρῶν σφηκιαῖς περι-